## 29 IANUARIE
## GHEORGHIOS APOSTOLAKIS

# ACATISTUL SF.PREOT DIMITRIE GRAGKASTAKIS DE LA PLATATOS-TESALIA



## ACATISTIERUL PE IANUARIE-GR



# Χαιρετισμοί
# Ὁσίου ΔΗΜΗΤΡΙΟΥ Γκαγκαστάθη

## Ποίημα Γεώργιος Ἀποστολάκης

Κοντάκιον. Ἦχος πλ. δ. Τῇ ὑπερμάχῳ.

Ἱερωσύνης κοσμηθείς ἔνδοξον στέφανον, Ποιμήν κατέστης θαυμαστός καί ὁσιώτατος, τούς ὑμνοῦντάς σε λυτρούμενος θεοφόρε. Ἀρχαγγέλων κοινωνός καί παμφιλέστατος, πᾶσι δίδου τήν ταχεῖάν σου βοήθειαν, ἳνα κράζωμεν· χαίροις, θεῖε Δημήτριε!

Ἄγγελος ἐν ἀνθρώποις, ταπεινός καί θεόφρων ὑπῆρξες, ὦ Δημήτριε Πάτερ· (γ)[1] θρέμμα ὤν τοῦ Πλατάνου σεπτόν, πολιοῦχος γέγονας αὐτοῦ Ὅσιε· σεμνύνεταί σοι ἅπασα, Μητρόπολις ἡμῶν βοῶσα·

Χαῖρε, τό ἄνθος τῆς Θετταλίας·
χαῖρε, καρπός καλῆς ῥιζουχίας.
Χαῖρε, τῶν ἀρχαίων Πατέρων ἐφάμιλλος·
χαῖρε, Ἱερέων ὁ γνώμων ὁ ἄριστος.
Χαῖρε, ὅτι καί γεννήτορας ἔσχες ὅλως εὐλαβεῖς·
χαῖρε, ὅτι καί μετέδωκας τῆς πρεπούσης ἀγωγῆς.
Χαῖρε, ὁ εὐσεβείᾳ τόν Θεόν προσεγγίσας·
χαῖρε, τήν θείαν χάριν σύν τῷ χρόνῳ αὐξήσας.
Χαῖρε, λαμπρόν πραότητος σκήνωμα·
χαῖρε, σεπτόν τῆς Χάριτος τίμημα.
Χαῖρε, δεκτόν ἱερεῖον τοῦ Λόγου·
χαῖρε, τερπνόν ἐκμαγεῖον τῆς δόξης.

Χαίροις, θεῖε Δημήτριε!

Βάσιν ἔχων τήν πίστιν, ἐκ νεότητος Πάτερ, ὡς δώρημα Χριστῷ παρεδόθης· καί προσηύχου τοῦ κόσμου μακράν, τήν σήν ποίμνην νέμων ταπεινῶς πάνσεμνε, δηλοῦσαν τήν ἐκποίμνασιν, προβάτων λογικῶν, κραυγάζων·

Ἀλληλούϊα.

Γνούς σοφέ ὡς προστάτας, τούς κλεινούς Ταξιάρχας, σφοδρότατα ἠγάπησας τούτους· φυλαχθείς ἀσφαλής ὑπ' αὐτῶν, διεσώθης θαύματι δεινῶν Ὅσιε· ὁρῶντες δέ βεβαίαν σου τήν πίστιν πρός αὐτούς βοῶμεν·

Χαῖρε, συνέστιε Ἀσωμάτων·
Χαῖρε, πηγή ἀΰλων ναμάτων.
Χαῖρε, παλαιῶν Ἱερέων ἰσότιμε·
χαῖρε, πρεσβευτά πρός Θεόν προθυμότατε.
Χαῖρε, σθένος καί ὑπόδειγμα Ἱερέων εὐλαβῶν·
χαίρε, εὖχος καί κραταίωμα εὐσεβῶν Χριστιανῶν.
Χαῖρε, νοῦς ἀπολαύων ἐννοιῶν ἀποῤῥήτων·
χαῖρε, ὁ εἰσελθών εἰς τά ἄδυτα τῶν ἀδύτων.
Χαῖρε, Θεόν δοξάσας τῷ βίῳ σου·
χαῖρε, πολλούς στηρίξας τῷ λόγῳ σου.
Χαῖρε, Ἀρχαγγέλων λαμπρός θεράπων·
χαῖρε, δι' οὗ κατῃσχύνθη ὁ δράκων.
Χαίροις θεῖε Δημήτριε!

Δῶρον σύ τῷ Κυρίῳ, ἐκ παιδός ἀνετέθης, σεπτός δέ λειτουργός Του κατέστης· εὐσεβείας τῷ ζήλῳ καυθείς, λειτουργῶν ναῷ Ταξιαρχῶν πάνσοφε, ἐδέχου τήν ἐπίσκεψιν, Ἁγίων καί Ἀγγέλων μέλπων·

Ἀλληλούϊα.

Ἔφανεν ἐν τῷ κόσμῳ, τήν μεγίστην σου χάριν, ὁ ἐτάζων νεφρούς καί καρδίαν· Παρακλήτου τῶν δώρων τυχών, ἐποιήσω θαύματα πολλά πάντιμε· εἰκόνος δέ τά δάκρυα, ἰδόντες οἱ πιστοί βοῶσι·

Χαῖρε, φαιδρόν Ἱερέων κλέος·
χαῖρε, τῆς Τρίκκης Ἁγίων νέος.
Χαῖρε, θαυμάτων ὁ λαβών τήν ἐνέργειαν·
χαῖρε, τοῦ ἐχθροῦ ὁ πατήσας τήν δύναμιν.
Χαῖρε, μύστης τόν Ἀπρόσιτον μετά πόθου ἐκζητῶν·
χαῖρε, θύτης ὁ θεόληπτος τῶν ἐσχάτων τῶν καιρῶν.
Χαῖρε, ὁ ὑπέρ πάντων τῷ Θεῷ ἱκετεύων·
χαῖρε, ὁ τούς σούς δούλους ἐκτενῶς προστατεύων.
Χαῖρε, Πλατάνου πάνσεμνος καύχησις·
χαῖρε, πιστῶν ἡ ἄριστος μίμησις.
Χαῖρε, πατήρ πολυτέκνου οἰκίας·
χαῖρε, σφραγίς ὀρθοδόξου παιδείας.
Χαίροις, θεῖε Δημήτριε!

Ζωηρᾷ προσευχῇ σου, Γεωργίου πρεσβείαις, ἐξαίσιον ἐτέλεσας θαῦμα· ὡς κρουνός ἀπό δένδρου

ξηροῦ, τῶν ὑδάτων ἔρρευσεν πληθύς Ἅγιε· τῆς κόρης δέ παράλυτος ἰάθη χείρ· ἐφ’ ᾧ βοῶμεν·

Ἀλληλούϊα.

Ἤτταν ὄντως μεγίστην, τῶν ἀπίστων αἱ τάξεις, ὑπέστησαν ἐμφυλίῳ πολέμῳ· τῶν ἐρίδων μακράν κρατηθείς, διηκόνεις ὅμιλον πιστῶν ἄριστε, στηρίζων ταῖς πρεσβείαις σου· διό σοι ἐκφωνοῦμεν πάντες·

Χαῖρε, φθαρτῶν τά εἴδη μισήσας·
χαῖρε, ἰσχύν ἀθέων ἐλέγξας.
Χαῖρε, πονηρῶν πνευμάτων ἀναίρεσις·
χαῖρε, πολιτῶν ἀσεβούντων καθαίρεσις,
Χαῖρε, ὁ νέους διασώσας ἐκ χειρῶν τῶν Ἰταλῶν·
χαῖρε, ὁ θαῦμα ἐκτελέσας συνδρομῇ Ταξιαρχῶν.
Χαῖρε, ὅτι ὑπάρχεις ἐν χοροῖς Ἀσωμάτων·
χαῖρε, ὅτι δοξάζεις νῦν Θεόν τῶν ἁπάντων.
Χαῖρε, ζωῆς ἁγίας ἐκτύπωμα·
χαῖρε, τρυφῆς καλῆς τό ἀπαύγασμα,
Χαῖρε, Θεοῦ λειτουργός θεοφόρος·
χαῖρε, ἡμῶν ὁδηγός ζωηφόρος.
Χαίροις, θεῖε Δημήτριε!

Θαυμασμόν ὑποβάλλει, τῇ Χριστοῦ Ἐκκλησίᾳ, Δημητρίου ὁ πάνσεμνος βίος· ἰσοβίως δουλεύσας Θεῷ, ὁδηγός κατέστη τοῦ λαοῦ τέλειος, σεμνῶν ἠθῶν διδάσκαλος, καί σῴζει τούς πιστῶς βοῶντας·

Ἀλληλούϊα.

Ἱερεύς ἀγγελόφρων, ἐν ἀσκήσει μεγάλῃ, ἐφάνης ἀγαθέ ἐν τῷ κόσμῳ· ἐνδυθείς νῦν Ὁσίων στολήν, εἰσακούεις αἴτησιν ἡμῶν δίκαιε, πρεσβεύων πρός τόν Κύριον, ὑπέρ πάντων τῶν σοί βοώντων·

Χαῖρε, ἡ στήλη ἀρίστων ἔργων·
χαῖρε, πηγή ζωηῤῥύτων λόγων.
Χαῖρε, ὁ γλυκύς ἐν τῷ λόγῳ καί βλέμματι·
χαῖρε, ὁ ἁπλοῦς τῷ νοΐ καί τῷ πνεύματι.
Χαῖρε, σάλπιγξ ἡ σαλπίζουσα μεγαλεῖα τοῦ Θεοῦ·
χαῖρε, γλῶσσα ἡ ἐλέγχουσα τήν ἀπάτην τοῦ ἐχθροῦ.
Χαῖρε, ὅτι ἀκούεις τῶν πιστῶν τάς αἰτήσεις·
χαῖρε, ὅτι προσδέχῃ νῦν ἡμῶν τάς δεήσεις.
Χαῖρε, ὁδόν βαδίσας σωτήριον·
χαῖρε, τερπνόν Θεοῦ οἰκητήριον.
Χαῖρε, ἀλείπτων Ἁγίων τό στόμα·
χαῖρε, καλόν καί γαλήνιον ὄμμα.
Χαίροις, θεῖε Δημήτριε!

Καθαρᾷ τῇ καρδίᾳ, καί ἀδόλῳ τῇ πίστει, ὡμίλεις πρός Χριστόν τόν Δεσπότην· ἐξ ἁπλότητος γάρ σήν εὐχήν, παραχρῆμα ἔκαμνεν δεκτήν Ἅγιε, καί ἅπαντες ὡς δεύτερον, Νικόλαον Πλανᾶν τιμῶμεν·

Ἀλληλούϊα.

Λύχνος ἱερουργίας καί ἀστήρ ἀγρυπνίας, διά πάντας κατέστης παμμάκαρ· τῶν δαιμόνων παγίδας

δεινάς, ἡ εὐχή σου ἔλυε νυκτί πάνσοφε· ἀλλ’ ὦ σεπτέ Δημήτριε, ἀεί σκέπε τούς ἐκβοῶντας·

Χαῖρε, εὐλαβῶν γονέων τύπος·
χαῖρε, σεμνῆς πολιτείας ἄνθος.
Χαῖρε, τῶν πιστῶν τό λαμπρόν φωταγώγημα·
χαῖρε, Ἱερέων ἐγγάμων ὑπόδειγμα.
Χαῖρε, στέφανον ἀμάραντον τῶν Ὁσίων ὁ στεφθείς·
χαῖρε, θεῖε ἀπολαύων ἐν Παραδείσῳ τῆς τρυφῆς.
Χαῖρε, τῶν ἀσθενούντων συμπαθής θεραπεία·
χαῖρε, τῶν πολυτέκνων συνεχής προστασία.
Χαῖρε, ἀρετῆς κανών καί σεμνότητος·
χαῖρε, Χριστοῦ μετέχων λαμπρότητος.
Χαῖρε, ἀρρήτων χαρίτων ὁ μύστης·
χαῖρε, ταχύς ἐν ταῖς θλίψεσιν ῥύστης.
Χαίροις, θεῖε Δημήτριε!

Μεγαλύνω σε Πάτερ, καί τιμῶ τήν σήν μνήμην, ἐπείπερ Παραδείσῳ μετέστης· καίτοι σχῆμα κατεῖχες ἁπλοῦν, ποθητός ἐγένου τῷ λαῷ Ὅσιε, καί πάντες σοι προσήρχοντο, μυούμενοι κραυγάζειν οὕτω·

Ἀλληλούϊα.

Νόμοις Εὐαγγελίου, πτερωθείς τῇ καρδίᾳ, τήν σήν ποίμνην ἐποίμανας Πάτερ· οὐρανόθεν σημεῖα πολλά, ἐτελοῦντο ὄντως τῷ Ναῷ Ἅγιε· μορφῇ παιδός γάρ Ἄγγελοι, προσήρχοντο πρός σέ, βοῶντες·

Χαῖρε, Πλατάνου λαμπρός πολίτης·
χαῖρε, Χασίων στερρός ὁπλίτης.

Χαῖρε, τῶν θαυμάτων τόν πλοῦτον δεξάμενος·
χαῖρε, τῶν δαιμόνων τά σμήνη τρεψάμενος.
Χαῖρε, ὅτι θεία Τράπεζα ἐμυρόβλυζεν τερπνῶς·
χαῖρε, ὅτι κατεσείετο ναοῦ τέμπλον θαυμαστῶς.
Χαῖρε, ὅτι ἑώρας τούς Ἀγγέλους ὡς παῖδας·
χαῖρε, ὅτι ἐπληροῦτο ναός εὐωδίας.
Χαῖρε, λαβών δακρύων τό χάρισμα·
χαῖρε, σαρκός νεκρώσας τό φρόνημα.
Χαῖρε, ὁρμήν ἀποτρέψας χαλάζης·
χαῖρε, κακίαν διώξας δαιμόνων.
Χαίροις, θεῖε Δημήτριε!

Ξίφος ὥσπερ σός λόγος, πεπλησμένος σοφίας, τάς καρδίας κατένυττεν σφόδρα· Μετεώρων Ἁγίων μονάς, εὐσεβῶς προσῄεις ἐκ νυκτός Ὅσιε, ἐκεῖθι δέ εὐχόμενος, σύν κτίτορσι ἐβόας πόθῳ·
Ἀλληλούϊα.

Ὅλος γάρ τῷ Κυρίῳ, ταπεινῶς παρεδόθης, φλεγείς τοῦ Παρακλήτου τῇ θέρμῃ· καί ταχέως τοῖς πᾶσι γνωσθείς, ἕως τέλους ἔμεινας ἁπλοῦς τέλειε, καλῶν σαὐτόν "γῆς σκύβαλον"· διό καί νῦν τιμᾶσαι οὕτω·
Χαῖρε, ποιμήν λογικῶν προβάτων·
χαῖρε, τρυφή μυστικῶν θρεμμάτων.
Χαῖρε, Ἐπισκοπῆς ἡμῶν τό ὡράϊσμα·
χαῖρε, τῶν συγχρόνων Ἁγίων θησαύρισμα.
Χαῖρε, ὅτι ἠξιώθης δωρεῶν πνευματικῶν·
χαῖρε, ὅτι μετ᾽ Ἀγγέλων ἐθεάθης λειτουργῶν.

Χαῖρε, τῶν Μετεώρων ὁ ἀνύστακτος φίλος·
χαῖρε, τῆς Ἐκκλησίας ἀκαθαίρετος στύλος.
Χαῖρε, ἀστήρ ἐγγάμων ὑπέρφωτε·
χαῖρε, Ποιμήν Πλατάνου ἀκοίμητε.
Χαῖρε, λαοῦ νεοστήρικτον τεῖχος·
χαῖρε, σαφής παραδείσου ὁ ἦχος.
Χαίροις, θεῖε Δημήτριε!

Πενομένων ἀνθρώπων πᾶσα τάξις, ὦ Πάτερ, σέ εἶχεν ἱλαρῶς ἀρωγοῦντα· φιλομόναχον ἔχων ψυχήν, τῇ Ἁγίᾳ Κορμπόβου Μονῇ ἔσπευσας, προσφέρειν ὑστερήματα, καί τέκνον μοναχήν βοῶσαν·
Ἀλληλούϊα.

Ῥήμασί σου ἁγίοις, ὁδηγός πρός τά κρείττω, τῶν τέκνων σου ὑπῆρξες θεόφρον· ἱερέων σαφής χαρακτήρ, καί πιστῶν κανών ὁ ἀσφαλής γέγονας, ραθύμων τε ὁ ἔλεγχος· διό καί σοί βοῶμεν οὕτω·
Χαῖρε, τό κρίνον τῆς σωτηρίας·
χαῖρε, τό μῦρον τῆς μετανοίας.
Χαῖρε, τοῦ Πλατάνου βλαστός εὐθαλέστατος·
χαῖρε, Θεσσαλίας ἀστήρ τηλαυγέστατος.
Χαῖρε, κρήνη ἀναβλύζουσα σωτηρίας σταλαγμόν·
χαῖρε, ἄμπελε παράγουσα θείου οἴνου γλυκασμόν.
Χαῖρε, μάκαρ Δημήτριε πατέρων λαμπρότης·
χαῖρε, ῥεῖθρον καλόν κληρικῶν ὡραιότης.
Χαῖρε, πτωχῶν προστάτης καί ἔφορος·

χαῖρε, πολλῶν πασχόντων ἡ ἴασις.
Χαῖρε, κἀμοῦ ὁ ἀεί προστατεύων·
χαῖρε, κρυφῇ μοι ὁ νεύματα νεύων.
Χαίροις, θεῖε Δημήτριε!

Σύμπασα Θετταλία, ἐξαιρέτως δέ Τρίκκη, ὑμνοῦσί σε Δημήτριε Πάτερ· ἔγνωμέν σου σεπτήν βιοτήν, θαυμασίων γέμουσαν πηγήν Ἅγιε· διό τήν σήν λαμπρότητα, θαμβούμενοι Θεῷ βοῶμεν·
Ἀλληλούϊα.

Τῆς πικρᾶς ἀσθενείας, ἀνενδότῳ ἀνδρείᾳ, ὑπήνεγκας χαρίεις τάς θλίψεις· δι' αὐτῆς μαρτυρίου ὁδόν, ἕως τέλους ὥδευσας λαμπρῶς πάνσεμνε· καί νῦν θεομακάριστε, ἀγάλλῃ ἐξ ἡμῶν ἀκούων·
Χαῖρε, ἡ στήλη ὁσίων πόνων·
χαῖρε, ἡ πύλη τῶν θείων νόμων.
Χαῖρε, τεθλιμμένων ἡ θεία παράκλησις·
χαῖρε, δυστυχούντων ταχεῖα ἀνάῤῥυσις.
Χαῖρε, σκεῦος πολυτίμητον θεαρέστου βιοτῆς·
χαῖρε, ἄνθος εὐωδέστατον πανοσίας ἀγωγῆς.
Χαῖρε, ὅτι ἐδέχθης χάριν παρά Κυρίου·
χαῖρε, ὅτι ἐπλήσθης Πνεύματος τοῦ Ἁγίου.
Χαῖρε, ζωῆς ὁσίας διδάσκαλος·
χαῖρε, χορῶν Ἁγίων συνόμιλος.
Χαῖρε, Χριστοῦ μιμητά εὐσπλαχνίας·
χαῖρε, φωνή θεϊκῆς συμπαθείας.
Χαίροις, θεῖε Δημήτριε!

Ὑπομείνας καρκίνου ἰωβείως τήν νόσον, ὡσεί δῶρον ὑπέλαβες ταύτην· καθαρμόν δέ λαβών ἐντελῆ καί θερμῶς δοξάσας τόν Θεόν, ἔδραμες προστάτην σου Ἀρχάγγελον ἰδεῖν ἐν Παραδείσῳ, κράζων·

Ἀλληλούϊα.

Φῶς λαβών ἐκ τῶν ἄνω, πλήρης ὤν χαρισμάτων, παρέδωκας Κυρίῳ τό πνεῦμα· τῶν πιστῶν δέ ἀθρόα πληθύς, τήν σωρόν σου ἤγαγεν ναῷ Ὅσιε· πρεπόντως δέ κηδεύσασα, ἐξύμνει σε δακρύοις ταῦτα·

Χαῖρε, σφραγίς Ἱερέων θείων·
χαῖρε, κρηπίς κληρικῶν ὁσίων.
Χαῖρε, Ὀρθοδόξου λαοῦ ὁ ὑπέρμαχος·
χαῖρε, ἀσεβούντων ἀνθρώπων ὁ ἔλεγχος.
Χαῖρε, ὅτι ἡ εἰκών σου ἱλαρύνει τάς ψυχάς·
χαῖρε, ὅτι λείψανά σου ἁγιάζουσι ἡμᾶς.
Χαῖρε, ὅτι μετέστης πρός Χριστόν μετά δόξης·
χαῖρε, ὅτι τά ἄνω θαυμαστῶς ἐπορίσθης.
Χαῖρε, τερπνόν τῆς Τρίκκης ὡράϊσμα·
χαῖρε, σεπτόν σῶν τέκνων διάδημα.
Χαῖρε, Μονῆς Θεολόγου προστάτης·
χαῖρε, αὐτῆς μοναστῶν παραστάτης.

Χαίροις, θεῖε Δημήτριε!

Χειραγώγησον Πάτερ, πρός ὁδόν σωτηρίας, τούς σέβοντας σόν πάνσεπτον σκῆνος· προσερχόμενοι

πίστει στεῤῥᾷ, εἰς λειψάνων θείαν σου σωρόν πάντιμε καί δόξαν ἀναπέμποντες, τιμήσωμεν αὐτήν βοῶντες·
Ἀλληλούϊα.

Ψάλλοντες εὐφροσύνως, οἱ πιστοί Ἐκκλησίας, τά ἆθλα σου πανόσιε Πάτερ, ἱκετεύομεν νεῦσον ταχύ, ταῖς δεήσεσι σῶν ἱκετῶν, Ἅγιε, ᾀδόντων ἐν τῇ μνήμῃ σου, καί πίστει εὐθαρσῶς βοώντων·
Χαῖρε, γαλήνη τῶν τεθλιμμένων·
χαῖρε, ὁ πλοῦτος τῶν πενομένων.
Χαῖρε, Θεολόγου μονῆς τό ἐγκαύχημα·
χαῖρε, τῶν καλούντων σε θεῖον διάσωσμα.
Χαῖρε, ὅτι προσκυνοῦμέν σου τῶν λειψάνων τήν σωρόν·
χαῖρε, ὅτι ἀπονέμουσι χάριν ταῦτα θαυμαστῶς.
Χαῖρε, Πάτερ Ἁγίων νεοστήρικτος βάσις·
χαῖρε, Τρίκκης Ὁσίων νεοσήμαντος φάσις.
Χαῖρε, κλεινῶν Πατέρων ἐφάμιλλος·
χαῖρε, Χριστοῦ θεράπων πανάριστος.
Χαῖρε, ᾠδῆς τῆς παρούσης συλλήπτωρ·
χαῖρε, νοός τοῦ ἐμοῦ ἀντιλήπτωρ.
Χαίροις, θεῖε Δημήτριε!

Ὦ Δημήτριε μάκαρ, Ἱερέων τῆς Τρίκκης, γλυκύ καί προσφιλέστατον κλέος· (γ)[2] τῶν τιμώντων σήν κάραν λαμπρῶς, ἐλεήμων ἴσθι βοηθός Ἅγιε, πρεσβεύων πρός τόν Κύριον, λυτρῶσαι πάντας τούς ὑμνοῦντας·

Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ἱερωσύνης κοσμηθείς ἔνδοξον στέφανον, Ποιμήν κατέστης θαυμαστός καί ὁσιώτατος, τούς ὑμνοῦντάς σε λυτρούμενος θεοφόρε. Ἀρχαγγέλων κοινωνός καί παμφιλέστατος, πᾶσι δίδου τήν ταχεῖάν σου βοήθειαν, ἳνα κράζωμεν· χαίροις, θεῖε Δημήτριε!

Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Τοῦ Πλατάνου τόν γόνον, σεπτόν Δημήτριον, τόν Ἱερέα Ὑψίστου, Ταξιαρχῶν τιμητήν, μακαρίσωμεν φαιδρῶς καί στεφανώσωμεν· ὅτι παρέδωκεν ἡμῖν, σωτηρίους διδαχάς, ἐν πράξει καί θεωρίᾳ, ἱκετεύων νῦν τῷ Κυρίῳ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Δίστιχον.

*Μνημονεύων μή παύοις δικαστοῦ Γεωργίου,*
*ἳνα κρίσιν ἐκφύγω Δικαστοῦ Οὐρανίου.*

---

[1] Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.
[2] Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.